eul_wid: dac-ab

*Κράτης ὁ Κωμικός* · Crates the Comic Poet

# Fragments of a Utopian Feast

*Ἀποσπάσματα περὶ Εὐδαίμονος Δείπνου*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Νῦν μὲν γὰρ ἡμῖν
book 1.2 παιδικῶν ἅλις ὅκως
book 1.3 περ ἀρνῶν ἐστι γαλαθηνῶν
book 1.4 τε καὶ χοίρων.
book 2 Γλυκύτατον δ' ὦζε βασιλείου μύρου.
book 1 Οὐκ ἀσκίῳ μεντἄρ' ἐμορμολύττετο αὐτούς, ἐπεὶ τάδ' ἔστ' ἀληθῆ.
book 2.1 Οὐκοῦν ἔτνους
book 2.2 χρὴ δεῦρο
book 2.3 τρύβλιον φέρειν καὶ τῆς ἀθάρης.
book 3 Τὸν αὐχέν' ἐκ γῆς ἀνεκὰς εἰς αὐτοὺς βλέπων.
book 4.1 Ἁλτῆρσι θυλάκοισι
book 4.2 χρῆται τὸ μέγεθος.
book 5 Ὁ κάνης δὲ τῆς κοίτης ὑπερέχειν μοι δοκεῖ.
book 1.1 [spk_β]Ἔπειτα δοῦλον οὐδὲ εἷς κεκτήσετ' οὐδὲ δούλην. Β. ἀλλ' αὐτὸς αὑτῷ δῆτ' ἀνὴρ γέρων διακονήσει; Α. οὐ δῆθ'· ὁδοιποροῦντα γὰρ τὰ πάντ' ἐγὼ ποιήσω. Β. τί δῆτα
book 1.2 τοῦτ' αὐτοῖς
book 1.3 πλέον; Α. πρόσεισιν αὔθ' ἕκαστον[ln_5]τῶν
book 1.4 σκευαρίων, ὅταν καλῇ τι. παρατίθου
book 1.5 τράπεζα. αὕτη, παρασκεύαζε
book 1.6 σαυτήν. μάττε θυλακίσκε. ἔγχει κύαθε. ποὖσθ' ἡ κύλιξ; διάνιζ' ἰοῦσα
book 1.7 σαυτήν. ἀνάβαινε μᾶζα. τὴν χύτραν
book 1.8 χρῆν ἐξερᾶν τὰ τεῦτλα. ἰχθὺ βάδιζ'. ἀλλ' οὐδέπω 'πὶ θάτερ' ὀπτός εἰμι.
book 1.1 [ln_10]οὔκουν μεταστρέψας
book 1.2 σεαυτὸν ἁλσὶ πάσεις ἀλείφων;
book 2.1 Ἀλλ' ἀντίθες

book 2.2 τοι· ἐγὼ γὰρ αὐτὰ πάμπαλιν τὰ θερμὰ λουτρὰ πρῶτον ἄξω

book 2.3 τοῖς ἐμοῖς ἐπὶ κιόνων ὥσπερ διὰ τοῦ παιωνίου ἐπὶ τῆς θαλάττης, ὥσθ’ ἑκάστῳ ῥεύσεται[ln_5]εἰς τὴν πύελον. ἐρεῖ δέ, θὕδωρ ἀνέχεται. ἔπειτ’ ἀλάβαστος εὐθέως ἥξει μύρου αὐτόματος, ὁ σπόγγος

book 2.4 τε καὶ τὰ σάνδαλα.

book 3.1 Καὶ τῶν ῥαφάνων ἕψειν

book 3.2 χρὴ * * * ἰχθῦς τ’ ὀπτᾶν

book 3.3 τούς

book 3.4 τε ταρίχους, ἡμῶν δ’ ἄπο

book 3.5 χεῖρας

book 3.1 [ln_2][spk_β]ἔχεσθαι. Β. οὐκ ἄρ’ ἔτ’ οὐδὲν κρέας, ὡς ὑμεῖς λέγετ’, οὐδ’ ὁτιοῦν[ln_3]ἐδόμεσθα, οὐδ’ ἐξ ἀγορᾶς οὐδὲ τάκωνας

book 3.2 ποιησόμεθ’ οὐδ’ ἀλλᾶντας;

book 4.1 Ἔχοντες εὐπαθῆ βίον

book 4.2 παρουσίαν

book 4.3 τε χρημάτων.

book 2.1 Ἔπη

book 2.2 τριπήχη Θετταλικῶς

book 2.3 τετμημένα.

book 3.1 Ἡμίεκτόν ἐστι

book 3.2 χρυσοῦ, μανθάνεις, ὀκτὼ ’βολοί.

book 1.1 Τοῖς δὲ τραγῳδοῖς ἕτερος

book 1.2 σεμνὸς πᾶσιν λόγος ἄλλος ὅδ’[ln_1]ἔστιν.

book 1 Κηφισιακαῖσι γογγυλίσιν ὅμοια πάνυ.

book 1.1 Σκυτίνῃ πότ’ ἐν χύτρᾳ τάριχος ἐλεφάντινον ἧψε

book 1.2 ποντιὰς

book 1.3 χελώνη

book 1.4 πευκίνοισι κύμασιν, καρκίνοι

book 1.5 ποδάνεμοί τε καὶ τανύπτεροι λύκοι ὑσοριμαχεῖν ἄνδρες οὐρανοῦ καττύματα[ln_5]παῖ’ ἐκεῖνον, ἄγχ’ ἐκεῖνον. ἐν Κέῳ τίς ἡμέρα;

book 2 Ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ’ ἐπίβαλλε.

book 1 Ποιμαίνει δ’ ἐπίσιτον, ῥιγῶντ’ ἐν Μεγαβύζου, δέξεταί τ’ ἐπὶ μισθῷ σῖτον.

book 2.1 Πρῶτα μὲν

book 2.2 ταλαντιαῖος ὅστις ἔστ’ αὐτῶν λέγε.

book 1 Ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα, οὗ μὴ τυχόντι θάνατός ἐσθ’ ἡ ζημία, οὗ πάντες ἐπιθυμοῦμεν· ἂν δ’ ἔλθῃ ποτέ, ἀνιώμεθ’· οὕτως ἐσμὲν ἀχάριστοι φύσει.

book 2.1 Ὁ γὰρ

book 2.2 χρόνος μ’ ἔκαμψε, τέκτων μὲν

book 2.3 σοφός, ἅπαντα δ’ ἐργαζόμενος ἀσθενέστερα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 3 Ὡς δὲ μαλακὸν καὶ τέρεν τὸ χρωτίδιόν ἐστ', ὦ θεοί. καὶ γὰρ ἐβλίμαζον αὐτήν, ἥ δ' ἐφρόντιζ' οὐδὲ ἕν.

book 4 Πάνυ γάρ ἐστιν ὡρικώτατα τὰ τιτθί' ὥσπερ μῆλον ἢ μιμαίκυλα.

book 5.1 Ἀλλὰ σικύαν

book 5.2 ποτιβάλλω

book 5.3 σοι, καναταλὴς ἀποσχάσω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org